μὲν γὰρ τὴν ἑορτὴν ἔξω τῶν ἀγρῶν τιθέασι παρ' αὐτὰς τὰς θύρας. Κράτης δὲ ὁ Ἀθηναῖος ἐν τῷ περὶ τῶν Ἀθήνησι θυσιῶν, ἀφορίας ποτὲ κατασχούσης τὴν πόλιν, θαλλόν φησι καταστέψαντας ἐρίοις ἱκετηρίαν ἀναθεῖναι τῷ Ἀπόλλωνι. ἄλλως. Πυανεψίοις καὶ Θαργηλίοις ἡλίῳ καὶ ὥραις ἑορτάζουσιν Ἀθηναῖοι. φέρουσι δὲ οἱ παῖδες, τούς τε θαλλοὺς ἐρίοις περιειλημμένους, ὅθεν Εἰρεσιῶναι λέγονται, καὶ τούτους πρὸ τῶν θυρῶν κρεμῶσιν. ἐξήρτηντο δὲ τῶν θαλλῶν αἱ ὧραι. τὸ δὲ κατεσπαράξατε εἶπεν ἐπειδὴ ἀλλήλους ὤθουν. Σύ δ' εἶ τίς.] τῷ ἀλλαντοπώλῃ λέγει. Ἀλλ' οὐχ οἷοί τ' ἐσμέν.] ἀλλ' οὐ δυνά- A μεθα προσιέναι οὐδ' εὖ ποιεῖν, κωλυόμενοι φησὶν ὑπὸ τοῦ Κλέωνος. Λυχνοπώλῃσιν.] διὰ Ὑπέρβολον. καὶ αὐτὸς γὰρ δημαγωγὸς ἦν λυχνοποιὸς ὤν. νευρορράφοις δέ φησι, διὰ τὸν προβατοπώλην Λυσικλέα. Καὶ σκυτοτόμοις.] Κλέωνι καὶ Λυσικλεῖ. ὀνειδίζει δὲ πάλιν Κλέωνι, ἀφ' οἵας τέχνης ἄγει καὶ φέρει τὴν πόλιν. Δίδως.] παρέχεις. ἢ πιστεύεις σεαυτόν. Ὑπεκδραμὼν τοὺς ἐκ Πύλου.] καταδραμὼν τοὺς ἐν Πύλῳ στρατηγούς. ὅτι συνεχῶς μέμνηται τοῦ ἐν Πύλῳ κατορθώματος. ἄλλως. ὑφαρπάσας διὰ τὴν νίκην τὴν ἐν Πύλῳ. ἐν σχήματι δὲ εἶπεν, ἀντὶ B τοὺς στρατηγούς.

Ἀλλ. Ἐγὼ δὲ περιπατῶν γ' ἀπ' ἐργαστηρίου,
Ἑψοντος ἑτέρου τὴν χύτραν ὑφειλόμην.
Κλ. Καὶ μὴν ποιήσας αὐτίκα μάλ' ἐκκλησίαν,
Ὦ δῆμ', ἵν' εἰδῇς, ὁπότερος νῷν ἐστί σοι
Εὐνούστερος, διάκρινον, ἵν' ἐκεῖνον φιλῇς.
Ἀλλ. Ναὶ ναὶ διάκρινον δῆτα, πλὴν μὴ 'ν τῇ Πνυκί.
Δη. Οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ,
Ἀλλ' εἰς τὸ πρόσθε χρῆν παρεῖν εἰς τὴν Πνύκα.
Ἀλλ. Οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'. ὁ γὰρ γέρων
Οἴκοι μὲν, ἀνδρῶν ἐστὶ δεξιώτατος.
Ὅταν δ' ἐπὶ ταυτησὶ κάθηται τῆς πέτρας,
Κέχηνεν, ὥσπερ ἐμποδίζων ἰσχάδας.

AG. Ego verò ab officina prodeambulans,
Quam coxerat alius, ollam furtim ſuſtuli.
CL. *Obſecro te, mi popule, conuentum age illico:*
Vt videas, noſtrum vter ſit beneuolentior
C *Tibi, age, dÿudica, vt illum ames.* AG. *Dÿudica*
Sanè: modò ne in Pnyce. PO. *atqui non alio in loco.*
Nam & antehac oportebat adeſſe in Pnyce.
AG. Hei mihi miſero, perÿ. Nam iſthic ſenex
Domi ſapit optimè: ſed quando in hac petra
Conſidet, haud aliter hiat, atque pueri ſolent,
Cùm ficos, laqueo appenſos, patulo ore capiunt.

D

Σχόλια. Ἀπ' ἐργαστηρίου.] ἵνα μηδὲ ἐν τούτοις ἀπολείπεσθαι δοκῇ τοῦ Κλέωνος ὁ ἀλλαντοπώλης, ἔδοξέ πως ὅμοιον ἐξευρηκέναι πρᾶγμα τοῖς ἐκείνῳ πεπραγμένοις. οὐ γὰρ Κλέων φησὶ μόνος, ἀλλοτρίαν νίκην ὑφήρπασεν, ἀλλὰ καὶ οὗτος ἐκ τῆς πόλεως μέσης ἔκ τινος ἐργαστηρίου φησὶ χύτραν ὑφειλόμην, ἄλλου κατασκευάσαντος ἑαυτῷ τροφὴν, ὡς κἀκεῖνος τὸ ἀλλότριον κατόρθωμα ἴδιον ἐποιήσατο. Διάκρινον.] σύγκρινον. ἢ ἀντεξέτασον πότερός σοι μᾶλλον εὔνους. Μὴ 'ν τῇ Πνυκί.] ὡς ἂν ἐν τῇ E συνόδῳ ἀνεπιτα δρῶντος τοῦ δήμου. ἡ δὲ Πνὺξ τόπος ἐστὶν, ἐν ᾧ τὸ παλαιὸν ἐκκλησίαζον. Ἀλλ' εἰς τὸ πρόσθ' ἐχρῆν παρεῖναι.] εἰς τὴν αὔριον χρὴ παρεῖναι ἅπαντας καὶ συνελθεῖν. γέροντα δὲ πάλιν εἶπεν ὅτι ἀρχαῖος ὁ τῶν Ἀθηναίων δῆμος. δεξιώτατος δὲ φιλανθρωπότατος προσηνέστατος. ἀγαθός. τῆς πέτρας δὲ τῆς Πνυκός. ὀρεινὴ γὰρ ἦν ὡς ἔοικεν.

BISETVS. Τὸ πρόσθε.] Σημείωσαι δὲ τὸ πρόσθε ἀντὶ τοῦ εἰς αὔριον, οὐ μόνον σπάνιον εἶναι, ἀλλὰ καὶ σπανιώτατον. καὶ γὰρ ὅτε τὸ πρόσθε χρονικῶς λαμβάνεται, F σημαίνει τὸ πρὸ ὀλίγου. καὶ ὡς εἰπεῖν ἐγγὺς, καὶ πρόσθε μὲν εἰώθει λέγονται τὰ πρὸ ὀφθαλμῶν, καὶ ἐνεστῶτα, ὄπισθεν δὲ, τὰ μέλλοντα. ὅτι μέντοι ἡ αὔριον ἐγγὺς ἡμῶν ἐστι, διὰ τοῦτο καὶ ὁ ποιητὴς οὕτω τούτῳ κέχρηται.

Σχόλια. Ἐμποδίζων ἰσχάδας.] σῦκα. ὥσπερ φησὶν οἱ τὰς ἰσχάδας ἐσθίοντες ἀνεμποδίστως καὶ λάβρως αὐτὰς ἐσθίουσι, τὸν αὐτὸν τρόπον καὶ ὁ δῆμος, ἐπειδὰν ἐν τῇ Πνυκὶ καθεσθῇ, κατακρίνει καὶ δημεύει. καὶ ὥσπερ οἱ τὰς ἰσχάδας ἐσθίοντες οὐκ ἂν μεταδοῖεν εὐχερῶς τινὶ, οὕτως οὐδὲ ὁ δῆμος ἐκεῖσε δικάζων, οὐκ ἂν φιλανθρωπεύσαιτο ῥᾳδίως. ἄλλως. ἐπειδὴ εἴωθε τὰ παιδία παίζοντα, ἀναβάλλειν τὰς ἰσχάδας, καὶ ἐν τῷ στόματι αὐτῶν δέχεσθαι. E Ἀρίσταρχος τὸ ἐμποδίζων, ἀντὶ τοῦ μασώμενος, ἢ ἐμφορούμενος. ἔνιοι δὲ, ἀπὸ τοῦ σῦκα λαμβάνοντα χάσκειν. οἱ δὲ, παιδιάν τινα. ἄλλως Σύμμαχος οὕτως. ἀπὸ τῶν μελισσῶν ἡ μεταφορά. εἰώθασι γὰρ οἱ μελισσουργοὶ ἰσχάδας συγκεκομμένας ῥίπτειν ταῖς μελίσσαις, ἐπὰν διὰ κρύος ἢ χειμῶνα, ἐξιέναι κατοκνῶσιν ἐκ τῶν σίμβλων, ἵνα ἔνδοθεν ἐσθίωσι. κεχήνασι δὲ οἱ μασώμενοι. Ἀρίσταρχος δὲ ὅτι μασώμενοι τὰς ἰσχάδας ταῖς μελίτταις τρίβουσιν ἃ τοῖς παισὶ τρίβουσιν. ἄλλως. ἐπειδὴ οἱ παῖδες περιτιθέντες τῇ συκῇ βρόχον, εἰώθασιν ἐσθίειν ἐπιθυμοῦντες τῶν σύκων. εἶτα F ὑπὸ τοῦ πάνυ γλίχεσθαι κεχήνασιν. ἢ οὕτως ὅτι εἴωθε τὰ παιδία παίζοντα ἄνω ῥίπτειν τὰς ἰσχάδας ἢ τὰς τῶν βοτρύων ῥᾶγας καὶ τῷ στόματι αὐτὰς κατιούσας δέχεσθαι χαίνοντα. ἢ ὅτι τὰ ἐπὶ τῆς συκῆς σῦκα διὰ καλά ὢν ἀποσπῶντα, κεχηνότα ταῦτα ὑποδέχεται τῷ στόματι.

ΣΤΡΟΦΗ στίχων ξη'.

G

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ
Σκηνὴ τρίτη.

ΧΟΡΟΣ, ΚΛΕΩΝ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΔΗΜΟΣ.

STROPHE.

ACTVS II. SCENA tertia.

CHORVS, CLEO, AGORACRITVS, POPVLVS.

BISE-